καὶ σαθρὰ τὰ ὦτα πάντων μᾶλλον ἢ τῶν ἀναγκαίων ἐμπι-
πλάντες. τοὺς μὲν οὖν ἵππους οἱ καλῶς τρέφοντες εὐστόμους
τῷ χαλινῷ, τοὺς δὲ παῖδας εὐηκόους τῷ λόγῳ παρέχουσι, πολλὰ B
μὲν ἀκούειν μὴ πολλὰ δὲ λέγειν διδασκομένους. καὶ γὰρ τὸν
Ἐπαμεινώνδαν ὁ Σπίνθαρος ἐπαινῶν ἔφη μήτε πλείονα γι-
νώσκοντι μήτ᾽ ἐλάττονα φθεγγομένῳ ῥᾳδίως ἐντυχεῖν ἑτέρῳ.
καὶ τὴν φύσιν ἡμῶν ἑκάστῳ λέγουσι δύο μὲν ὦτα δοῦναι,
μίαν δὲ γλῶτταν, ὡς ἐλάττονα λέγειν ἢ ἀκούειν ὀφείλοντι.

4. Πανταχοῦ μὲν οὖν τῷ νέῳ κόσμος ἀσφαλής ἐστιν ἡ
σιωπή, μάλιστα δ᾽ ὅταν ἀκούων ἑτέρου μὴ συνταράττηται
μηδ᾽ ἐξυλακτῇ πρὸς ἕκαστον, ἀλλὰ κἂν ὁ λόγος ᾖ μὴ λίαν
ἀρεστός, ἀνέχηται καὶ περιμένῃ παύσασθαι τὸν διαλεγόμενον, C
καὶ παυσαμένου μὴ εὐθέως ἐπιβάλλῃ τὴν ἀντίρρησιν, ἀλλ᾽ ὥς
Αἰσχίνης φησί, διαλείπῃ χρόνον, εἴτε προσθεῖναί τι βούλοιτο
τοῖς λελεγμένοις ὁ εἰρηκώς, εἴτε μεταθέσθαι καὶ ἀφελεῖν. οἱ
δ᾽ εὐθὺς ἀντικόπτοντες, οὔτ᾽ ἀκούοντες οὔτ᾽ ἀκουόμενοι λέ-
γοντες δὲ πρὸς λέγοντας, ἀσχημονοῦσιν· ὁ δ᾽ ἐγκρατῶς καὶ
μετ᾽ αἰδοῦς ἀκούειν ἐθισθεὶς τὸν μὲν ὠφέλιμον λόγον ἐδέξατο
καὶ κατέσχε, τὸν δ᾽ ἄχρηστον ἢ ψευδῆ μᾶλλον διεῖδε καὶ κατε-
φώρασε, φιλαλήθης φανείς, οὐ φιλόνεικος οὐδὲ προπετὴς καὶ
δύσερις. ὅθεν οὐ κακῶς ἔνιοι λέγουσιν ὅτι δεῖ τῶν νέων μᾶλ-
λον ἐκπνευματοῦν τὸ οἴημα καὶ τὸν τῦφον ἢ τῶν ἀσκῶν τὸν D
ἀέρα τοὺς ἐγχέαι τι βουλομένους χρήσιμον· εἰ δὲ μή, γέμοντες
ὄγκου καὶ φυσήματος οὐ προσδέχονται.

5. Φθόνος τοίνυν μετὰ βασκανίας καὶ δυσμενείας οὐδενὶ
μὲν ἔργῳ παρὼν ἀγαθόν, ἀλλὰ πᾶσιν ἐμπόδιος τοῖς καλοῖς,
κάκιστος δ᾽ ἀκροωμένῳ πάρεδρος καὶ σύμβουλος, ἀνιαρὰ καὶ
ἀηδῆ καὶ δυσπρόσδεκτα ποιῶν τὰ ὠφέλιμα διὰ τὸ πᾶσι μᾶλλον
ἥδεσθαι τοὺς φθονοῦντας ἢ τοῖς εὖ λεγομένοις. καίτοι πλοῦτος